Πο. Νὴ τὸν Ποσειδῶ ταῦτά γε σὺ καλῶς λέγεις. A
Κἀμοὶ δοκεῖ. Πει. τί δαὶ σὺ φῄς. Τρ. ναβαισατρεῦ.
Πει. Ὁρᾷς, ἐπαινεῖ χ' οὗτος. ἕτερον νῦν ἔτι
Ἀκούσαθ' ὅσον ὑμᾶς ἀγαθὸν ποιήσομεν.
Ἐάν τις ἀνθρώπων ἱερεῖον τῷ θεῷ
Εὐξάμενος, εἶτα διασοφίζηται λέγων.
Μενετοὶ θεοί. καὶ μὴ ποδιδῷ, μισητίαν
Ἀναπράξομεν καὶ ταῦτα. Πο. φέρ' ἴδω τῷ τρόπῳ; B
Πειθ. Ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ
Ἄνθρωπος οὗτος ἢ κάθηται λούμενος.
Καταπτάμενος ἴκτινος ἁρπάσας λάθρα
Προβάτοιν δυοῖν τιμὴν ἀνοίσει τῷ θεῷ.
Ηρακλ. Τὸ σκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι
τούτοις ἐγώ. Πο. τὸν Τριβαλλόν γε νῦν ἐροῦ.
Ηρακλ. Ὁ Τριβαλλὸς, οἰμώζειν δοκεῖ σοι; Τρ. σαυνάκα C
Βακταρικροῦσα. Ηρακλ. φησὶν εὖ λέγειν πάνυ.
Πο. Εἴ τινι δοκεῖ σφῷν, ταῦτα κἀμοὶ συνδοκεῖ.
Ηρακλ. Οὗτος. δοκεῖ δρᾶν ταῦτα τοῦ σκήπτρου πέρι.
Πει. Καὶ νὴ Δί' ἕτερόν γ' ἐστὶν, οὗ μνήσθην ἐγώ.
Τὴν μὲν γὰρ Ἥραν, παραδίδωμι τῷ Διΐ,
Τὴν δὲ Βασίλειαν τὴν κόρην γυναῖκ' ἐμοὶ
Ἐκδοτέον ἐστίν. Πο. οὐ διαλλαγῶν ἐρᾷς, D
Ἀπίωμεν οἴκαδ' αὖθις. Πει. ὀλίγον μοι μέλει.
Μάγειρε, τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ.
Ηρα. Ὦ δαιμόνι' ἀνθρώπων Πόσειδον. ποῖ φέρει,
Ἡμεῖς περὶ γυναικὸς μιᾶς πολεμήσομεν;
Ποσει. Τί δαὶ ποιῶμεν; Ηρακλ. ὅ, τι; διαλλαττώμεθα.
Ποσει. Τί ὦ 'ζυρ' οὐκ οἶσθ' ἐξαπατώμενος πάλαι; E
Βλάπτεις δέ τοι σὺ σαυτόν. ἢν γὰρ ἀποθάνῃ
Ὁ Ζεὺς παραδοὺς τούτοισι τὴν τυραννίδα,
Πένης ἔσει σύ. σοῦ γὰρ ἅπαντα γίνεται
Τὰ χρήμαθ' ὅσ' ἂν ὁ Ζεὺς ἀποθνήσκων καταλίπῃ.
Πειθ. Οἴμοι τάλας γ' οἷόν σε περισοφίζεται.
Δεῦρ' ὡς ἔμ' ἀποχώρησον, ἵνα τί σοι φράσω.

NEP. *Per Neptunum, hæc bene dicis.*
*Et mihi videtur.* PI. *Quid autē tu dicis?* TRI. *nauæ satreu,*
PI. *Vides? laudat hic alterum nunc adhuc,*
*Audite quantum nobis bonum faciemus.*
*Si quis hominum sacrum Deo ouem post*
*Vouens, postea sophisticas dicens,*
*Tardi dei, & non soluam peccatum,*
*Recompensemus & hæc.* NEP. *age videam quomodo.*
PI. *Quando dinumerans argentulum contigerit,*
*Homo hic vel sedet lotus,*
*Aduolans Ictinus rapiens clàm,*
*Ouium duarum precium referet Deo.*
HER. *Sceptrum reddere iterum confirmo*
*His ego.* NEP. *Triballum nunc interroga.*
HER. *Triballus lugere videtur tibi.* TRI. *bene*
*Confirmo.* HER. *dicit bene dicere valde.*
NEP. *Si cui apparent vestrûm hæc, & mihi simul apparent.*
HER. *Hic videtur facere hæc sceptri gratia.*
PI. *Et per Iouem alterum est, cuius memini ego.*
*Hanc quid enim Iunonem trado Ioui,*
*Illam autem reginam puellam mulierem mihi*
*Dandum est.* NEP. *non paces amas,*
*Abeamus domum iterum.* PI. *parum mihi curæ est,*
*Coque infusionem oportet facere dulcem.*
HER. *O felix hominum Neptune quò portaris.*
*Nos de muliere vna pugnabimus?*
NEP. *Quid autem faciemus?* HER. *Quòd faciemus pacem.*
NEP. *Quod ô praue non scis deceptus diu?*
*Lædis autem tu teipsum, si autē mortuus fuerit*
*Iupiter, tradens his tyrannidem,*
*Pauper eris tu. tui enim omnes fiunt*
*Res quascunque Iupiter moriens reliquerit.*
PI. *Hei mihi miser, qualiter te circumuenit,*
*Huc ad me accede, vt aliquid tibi dicam.*

Σχόλ. Νὴ τὸν Ποσειδῶ.] τοῦτο ὁ Ποσειδῶν λέγει μηδέπω ἐμφανίσας ἑαυτόν. καὶ γελοίως καθ' ἑαυτοῦ ὄμνυσι. Ναβαισατρεῦ.] βαρβαρίζων συγκατίθεται ὁ βάρβαρος θεός. αἱ γὰρ ἄσημοι φωναὶ, ἀντὶ συγκαταθάσεως. Μενετοὶ θεοί.] ἀνεξίκακοι καὶ οὐκ εὐθέως τιμωρούμενοι. ἄλλως. μενετοὶ θεοὶ, οὐκ ἀπατηλοί. οἷον μόνιμοι καὶ βέβαιοι, οὐκ εὐεξαπάτητοι. μισητίαν δὲ, οἱ μὲν περὶ Ἀριστοφάνη, τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν. καὶ τὸ περὶ σφυρὸν παχεῖα. καὶ μισητὴ γυνὴ, οὕτως ἐξηγοῦνται. μήποτε μέν τοι γλυκώτερόν ἐστιν, ἀπληστία δὲ καὶ νῦν ἐμφαίνεται.

BISETVS. Ὁ τούτων νοῦς ὅδε. καὶ ἐὰν ὁ εὐξάμενος μὴ ἀποδιδῷ τὸ ἱερεῖον, μισητίαν, καὶ ταῦτα ἀναπράξομεν. μέτρου δὲ χάριν μισητίαν, ἀντὶ τοῦ μισητείαν ἔγραψεν. Ἴωνες μέν τοι τὰ κοινῶς διὰ τοῦ εια ἐκφέρουσι διὰ τοῦ ια. οἷον ἀληθία, δουλία, ἀντὶ τοῦ ἀλήθεια, δουλεία. μισήτην F δ' ἔλεγον τὴν κατωφερῆ, οὐ παρὰ τὸ μῖσος, ἀλλὰ παρὰ τὸ μίσγεσθαι. τὸ γὰρ μῖσος ἀπωθέν ἐστι τοῦ μιαίνεσθαι. ὁ γὰρ μισεῖται, μεμόνωται, καὶ ἀμιγές ἐστιν. ἀλλ' οἱονεὶ μισγήτην τινὰ οὖσαν, ὃ καὶ βέλτιον. καὶ τὸ ἐν παροιμίας δὲ μέρει λεγόμενον, περὶ σφυρὰν παχεῖα μισήτη γυνὴ κατὰ τοῦτο εἰρῆσθαι δοκεῖ. μισητεία δὲ ἡ πορνεία. ἐν Πλούτῳ,

Καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητείας
Αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα.

καὶ μισητίας ὁ εἰς τὰς συνουσίας εὐεπίφορος. μεταφορικῶς G δὲ καὶ μισητία περὶ τῆς ἀπληστίας λέγεται.

Σχόλια. Ὁ Τριβαλλός.] ἀντὶ τοῦ ὦ Τριβαλλέ. καὶ ἐρώτησιν δὲ ὁ λόγος. δέον δὲ εἰπεῖν, δοκεῖ σοι συνθέσθαι. ὁ Τριβαλλὸς δὲ, ἔοικε τοῦ Ποσειδῶνος εἶναι τοῦτο. πιθανῶς δὲ εἰώθασι καὶ τοῖς βαρβάροις διαλεγόμενοι τῷ σχήματι ἐσπουδασμένως λοιδορεῖν ἢ καταρᾶσθαι.